γνώμη καὶ συναινέσει τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου κυρίου Προκοπίου, καὶ τοῦ μακαριωτάτου Ἀντιοχείας κυρίου Δανιήλ, καὶ μακαριωτάτου Ἱεροσολύμων κυρίου Προκοπίου, προεκρίθη ἐκλεχθεὶς ὁ μέγας πρωτοσύγγελος τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κύριος Παρθένιος, καὶ χειροτονηθεὶς ἐν τῷ ναῷ τοῦ μεγαλομάρτυρος Γεωργίου ἐν τῷ πατριαρχείῳ ὑπὸ τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου κυρίου Προκοπίου τῇ δεκάτῃ τρίτῃ σεπτεμβρίου ἀρχιερεὺς καὶ μητροπολίτης Πηλουσίου, προεβιβάσθη νομίμως εἰς τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον Ἀλεξανδρείας.

Πολλῶν δ' ἐπηρειῶν καὶ θλίψεων γενομένων τοῖς ἐν τῇ Κωνσταντινουπόλει ὀρθοδόξοις χριστιανοῖς κατὰ τὸν ἐνιαυτὸν τοῦτον, καὶ ἐν ἅπασι συμπεριαγόμενος καὶ θλιβόμενος ὁ παναγιώτατος κύριος Προκόπιος, καὶ ἄκων ἐλύπησεν οὐκ ὀλίγους. Διὸ καὶ λίβελλοι κατ' αὐτοῦ τοῖς κρατοῦσιν ἀδικώτατοι τρεῖς ἐφεξῆς ἐπεδόθησαν, δι' ὧν ἧκεν εἰς αὐτὸν ἔγγραφος ἀπειλὴ τοῦ ἀνθυπάτου, ἄηθες ὂν τοῦτο γίνεσθαι, ὡς εἰ μὴ παύσει ἄρχων πλεονεκτικῶς, καὶ ἀγρίως διασπαράττων, καὶ κακῶς λυμαινόμενος τὸ ποίμνιον, ὡς αὐτοῦ κατεβόησαν, θάνατος αὐτῷ ἡ ζημία. Ἔδεισεν οὖν φοβηθεὶς ὁ παναγιώτατος τῆς ἀδίκου διαβολῆς, ἔδεισαν δὲ καταπτοηθέντες περὶ αὐτοῦ καὶ οἱ πανιερώτατοι ἀρχιερεῖς, ὑφορώμενοι ἐν σφαλερῷ οὕτω καιρῷ τῶν κακῶν τὰς ὁρμάς. Καὶ δὴ συνελθόντες, καὶ κοινὴν ποιήσαντες ὑπὲρ αὐτοῦ τὴν ἀναφοράν, ἀπέστειλαν μαρτυροῦντες καὶ διαβεβαιούμενοι τὸν ὀρθὸν τρόπον καὶ κοινωφελῆ μέριμναν, καὶ ἀνεπίληπτον προστασίαν τῆς αὐτοῦ παναγιότητος, ἀπελέγχοντες ψευδεῖς καὶ κακομηχάνους τὰς ὡς ἐκ τοῦ κοινοῦ δῆθεν ἐκείνας δηλώσεις, καὶ διαβολὰς ἀσυστάτους ἀνθρώπων ἐμπαθῶς κινουμένων, κακεντρεχῶν τε καὶ ἀπονενοημένων καὶ τοῦ ἡμῖν συμφέροντος πολεμίων.

Ἐν τῷ αὐτῷ ἔτει ὀκτωβρίου εἰκοστῇ τετάρτῃ τοῦ μα-